ὁ μειζόνων ἀξιῶν αὐτόν· μικρόψυχος δ' ὁ ἐλαττόνων. ἔτι δ' ἄσωτος ὁ πρὸς ἅπασαν δαπάνην ὑπερβάλλων, ἀνελεύθερος δ', ὁ πρὸς ἅπασαν ἐλλείπων. ὁμοίως δὲ καὶ ὁ μικροπρεπὴς καὶ ὁ σαλάκων· ὁ μὲν γὰρ ὑπερβάλλει τὸ πρέπον, ὁ δ' ἐλλείπει τοῦ πρέποντος. καὶ ὁ μὲν πανοῦργος, πάντως καὶ πανταχόθεν πλεονεκτικός· ὁ δ' εὐήθης, οὐδ' ὅθεν δεῖ. φθονερὸς δὲ, τῷ λυπεῖσθαι ἐπὶ πλείοσιν εὐπραγίαις ἢ δεῖ· καὶ γὰρ οἱ ἄξιοι εὖ πράττειν, λυποῦσι τοὺς φθονεροὺς εὖ πράττοντες. ὁ δ' ἐναντίος, ἀνωνυμώτερος. ἔστι δ' ὁ ὑπερβάλλων ἐπὶ τῷ μὴ λυπεῖσθαι μηδ' ἐπὶ τοῖς ἀναξίοις εὖ πράττουσιν, ἀλλ' εὐχερὴς ὥσπερ οἱ γαστρίμαργοι πρὸς τροφήν· ὁ δὲ δυσχερὴς, κατὰ τὸν φθόνον ἐστί. τὸ δὲ πρὸς ἕκαστον μὴ κατὰ συμβεβηκὸς οὕτως ἔχειν, περίεργον διορίζειν. οὐδεμία γὰρ ἐπιστήμη, οὔτε θεωρητικὴ οὔτε ποιητικὴ, οὔτε λέγει οὔτε πράττει τοῦτο προσδιορίζουσα. ἀλλ' αὕτη ἐστὶ πρὸς τὰς συκοφαντίας τῶν τεχνῶν τὰς λογικάς. ἁπλῶς μὲν οὖν διωρίσθω τὸν τρόπον τοῦτον· ἀκριβέστερον δ' ὅταν περὶ τῶν ἕξεων λέγωμεν τῶν ἀντικειμένων. αὐτῶν δὲ τούτων τῶν παθημάτων εἴδη κατονομάζεται τῷ διαφέρειν κατὰ τὴν ὑπερβολὴν, ἢ χρόνου, ἢ τῷ μᾶλλον, ἢ πρός τι τῶν ποιούντων τὰ πάθη. λέγω δὲ, οἷον ὀξύθυμος μὲν τῷ θᾶττον πάσχειν ἢ δεῖ· χαλεπὸς δὲ καὶ θυμώδης, τῷ μᾶλλον· πικρὸς δὲ, τῷ φυλακτικὸς εἶναι τῆς ὀργῆς· πλήκτης δὲ καὶ λοιδορητικὸς, ταῖς κολάσεσι ταῖς ἀπὸ τῆς ὀργῆς. ὀψοφάγοι δὲ καὶ γαστρίμαργοι καὶ οἰνόφλυγες, τῷ πρὸς ὁποτέρας τροφῆς ἀπόλαυσιν ἔχειν τὴν δύναμιν παθητικὴν παρὰ τὸν λόγον. οὐ δεῖ δ' ἀγνοεῖν ὅτι ἔνια τῶν λεγομένων οὐκ ἔστιν ἐν τῷ πῶς λαμβάνειν, ἄν πως λαμβάνηται τῷ μᾶλλον πάσχειν. οἷον μοιχὸς, οὐ τῷ μᾶλλον ἢ δεῖ πρὸς τὰς γαμετὰς πλησιάζειν· οὐ γάρ ἐστιν· ἀλλὰ μοχθηρία τις αὐτή δή ἐστι. συνειλημμένον γὰρ τό, τε πάθος, λέγεται, καὶ τὸ τοιόνδε εἶναι. ὁμοίως δὲ καὶ ἡ ὕβρις. διὸ καὶ ἀμφισβητοῦσι, συγγενέσθαι μὲν φάσκοντες, ἀλλ' οὐ μοιχεῦσαι· ἀγνοοῦντες γὰρ, ἢ ἀναγκαζόμενοι· καὶ πατάξαι μὲν, ἀλλ' οὐχ ὑβρίσαι. ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων.

Κεφάλαιον δ.

Εἰλημμένων δὲ τούτων, μετὰ ταῦτα λεκτέον, ὅτι ἐπειδὴ δύο μέρη τῆς ψυχῆς, καὶ αἱ ἀρεταὶ κατὰ ταῦτα διῄρηνται

A qui pluribus ſe dignum arbitratur, quàm deceat. Puſillanimus, qui paucioribus. Profuſus, qui omnibus ſumptibus excedit. Illiberalis, qui omnibus parcit. Similiter & parcus, & prodigus: hic enim excedit erogando modum, alter eũ non attingit. Verſut s, in omnibus, & vndequaque alios in vtilitatis captione anteuertit. Stolidus verò, etiam iſthic ceſſat, vbi non oportebat. Inuidus, ob ſucceſſum, plus, quàm deceat,
B angitur: nam & dignorum ſucceſſibus adfliguntur tales. Contrarius huic nomine caret, is ſcilicet, qui ſpectans indignorum ſucceſſum nihil commouetur tamen, ſed expeditus eſt, ſecurúſque alienorum, perinde ac ſolent, qui ventri tantùm inſeruiunt: ille verò, difficilis eſt ob inuidiæ morbum. Quæ verò in ſingulis ita habeant per accidens, ſuperuacuũ eſt determinare. Nulla enim ſcientia, vel contéplatiua,
C vel actiua, ea ratiocinando agendóve iungũt: hæc enim cõtra deceptiones artiũ logicas adferunt. Quocirca ſimpliciter hæc determinata nobis ſufficiant, accuratiùs deinceps pertractanda, vbi de oppoſitis inter ſe habitibus diſputabitur. Affectionum verò eiuſmodi quædam ſpecies, ex eo nomen trahunt; quod aut iuxta exceſſum temporis, aut ſecundũ quod magis quidque eſt, aut relatione ad aliquid differant
D ij, in quibus affectus exeruntur. Animo namque præceps dicitur, eo quod citiùs quàm oporteat, prorumpat. Sæuus vero, & immanis, eo quod violentiùs prorũpat. Acerbus verò, quod iraſcendi captet occaſionem. Percurſor verò & contumelioſus, à punitionibus ex ira profectis. Delicati autem, guloſi, vinolentíque, eo quod vtroque alimenti genere nimis, & præter rationem deliniũtur. Cæterum ignorari nõ oportet,
E quando quomodo pro vberiore paſſione capitur, id quibuſdam ex iis non competere. Vt adulter non ex eo vocatur, quia magis ſoleat coniugatis miſceri: ſed malitia eius facti quædam expenditur. Simul nanque & paſſio, & talem eſſe iunguntur, nec ſegregatur etiam ab eiuſmodi contumelia. Vnde ſæpe controuertitur, an qui congreſſus ſit, etiam adulterium commiſerit, vt puta ſi ignorans, aut coactus fecerit, & qui percuſſerit, etiam contumeliatus
F ſit: atque eodem pacto in reliquis.

CAPVT IV.

His itaque peractis, non prætereundum, quod duæ cùm ſint animæ partes, virtutes etiam iuxta eaſdem diſtingui: